A ὅταν γὰρ μιχθῇ, οὔτε ἀγαθὸν, οὔτε οὐκ ἀγαθὸν τὸ μῖγμα· ὥστε οὐδὲν εἰπεῖν ἀληθές.

Κεφάλαιον η.

Διωρισμένων δὲ τούτων, φανερὸν, ὅτι καὶ τὰ μοναχῶς λεγόμενα, καὶ τὰ κατὰ πάντων ἀδύνατον ὑπάρχειν, ὥσπερ τινὲς λέγουσιν· οἱ μὲν οὐθὲν φάσκοντες ἀληθὲς εἶναι· οὐθὲν γὰρ κωλύειν φασὶν οὕτως ἅπαντα εἶναι, ὥσπερ τὸ τὴν διάμετρον σύμμετρον εἶναι· οἱ δὲ πάντα ἀληθῆ· σχεδὸν γὰρ αὐτοῖς οἱ λόγοι οἱ B αὐτοὶ τῷ Ἡρακλείτου. ὁ γὰρ λέγων ὅτι πάντα ἀληθῆ καὶ πάντα ψευδῆ, καὶ χωρὶς λέγει τῶν λόγων ἑκάτερον τούτων. ὥστ' εἴπερ ἀδύνατα ἐκεῖνα, καὶ ταῦτα ἀδύνατον εἶναι. ἔτι δὲ φανερῶς ἀντιφάσεις εἰσὶν, ἃς οὐχ οἷόν τε ἅμα ἀληθεῖς εἶναι· οὐδὲ δὴ ψευδεῖς πάσας· καίτοι δόξειεν ἂν μᾶλλον ἐνδέχεσθαι ἐκ τῶν εἰρημένων. ἀλλὰ πρὸς ἅπαντας τοὺς τοιούτους λόγους αἰτεῖσθαι δεῖ, καθάπερ ἐλέχθη καὶ C ἐν τοῖς ἐπάνω λόγοις, οὐχ εἶναί τι ἢ μὴ εἶναι, ἀλλὰ σημαίνειν τι· ὥστε ἐξ ὁρισμοῦ διαλεκτέον λαβόντας τί σημαίνει τὸ ψεῦδος ἢ τὸ ἀληθές. εἰ δὲ μηδὲν ἄλλο ἢ τὸ ἀληθὲς φάναι ἢ ἀποφάναι ψεῦδός ἐστιν, ἀδύνατον πάντα ψευδῆ εἶναι· ἀνάγκη γὰρ τῆς ἀντιφάσεως θάτερον εἶναι μόριον ἀληθές. ἔτι εἰ πᾶν ἢ φάναι ἢ ἀποφάναι ἀναγκαῖον, ἀδύνατον ἀμφότερα D ψευδῆ εἶναι. θάτερον γὰρ μέρος τῆς ἀντιφάσεως ψεῦδός ἐστιν, συμβαίνει δὴ καὶ τὸ θρυλλούμενον πᾶσι τοῖς τοιούτοις λόγοις. αὐτοὺς ἑαυτοὺς ἀναιρεῖν. ὁ μὲν γὰρ πάντα ἀληθῆ λέγων, καὶ τὸν ἐναντίον αὐτοῦ λόγον ἀληθῆ ποιεῖ· ὥστε τὸν ἑαυτοῦ οὐκ ἀληθῆ· ὁ γὰρ ἐναντίος, οὔ φησιν εἶναι αὐτὸν ἀληθῆ· ὁ δὲ πάντα ψευδῆ, καὶ αὐτὸς ἑαυτόν. ἐὰν δ' ἐξαιρῶνται, ὁ μὲν τὸν ἐναντίον, ὡς οὐκ ἀληθὴς μόνος ἐστίν· ὁ δὲ τὸν αὐτὸν αὐτοῦ, ὡς οὐ ψευδής, οὐδὲν ἧττον ἀπείρους E συμβαίνει αὐτοῖς αἰτεῖσθαι λόγους ἀληθεῖς καὶ ψευδεῖς. ὁ γὰρ λέγων τὸν ἀληθῆ, λόγον ἀληθῆ, προσυπακούεται τὸ, ὅτι ἀληθής· τοῦτο δ' εἰς ἄπειρον βαδιεῖται. φανερὸν δ' ὅτι οὐδ' οἱ πάντα ἠρεμεῖν λέγοντες, ἀληθῆ λέγουσιν, οὐδ' οἱ πάντα κινεῖσθαι. εἰ μὲν γὰρ ἠρεμεῖ πάντα, ἀεὶ ταὐτὰ ἀληθῆ καὶ ψευδῆ ἔσται. φαίνεται δὲ F τοῦτο μεταβάλλον. ὁ γὰρ λέγων, ποτὲ, αὐτὸς οὐκ ἦν, καὶ πάλιν οὐκ ἔσται. εἰ δὲ πάντα κινεῖται, οὐθὲν ἔσται ἀληθές· πάντα ἄρα ψευδῆ, ἀλλὰ δέδεικται ὅτι ἀδύνατον. ἔτι ἀνάγκη τὸ ὂν με-

A Cùm enim miscentur, neque bonum, neque non bonum est illud mistum. Quare nihil est dicere verum.

CAPVT VIII.

His autem determinatis, manifestum est, quod illa quoque quæ vno modo, & de omnibus dicũtur, impossibile est esse, vt quidam aiunt, quidam quidem nullum dicentes verum esse. Nihil enim prohibere ita cuncta esse aiũt, vti diametrum commensurabilem esse: quidam verò o- B mnia vera. Ferè enim rationes eorum eædémque quæ & Heracliti sunt. Qui enim dicit quòd omnia vera, & omnia falsa, etiam separatim vtranque harum orationum dicit: quare si hæc impossibilia sunt, illa quoque impossibilia esse necesse est. Item patet quod contradictiones sunt, quas non possibile est simul veras esse, neque falsas, etsi id videri possit magis contingere exiàm dictis: ad has tamen omnes rationes petere oportet, vt in superiori- C bus sermonibus dictum est, non si sit aliquid, aut non sit, si aliquid significat. Quare ex definitione disputandum est, accipientibus quid verum, quídve falsum significat. Si autem nihil aliud est, quàm quòd verum est affirmare, aut quod negare falsum est, impossibile est omnia falsa esse. Necesse est enim alteram contradictionis partem veram esse. Item, si omne, aut affirmare, aut negare necesse est, D impossibile est vtraque falsa esse: altera enim contradictionis pars, falsa est. Accidit autem, (quod etiam publicè fertur) his omnibus orationibus, eas se ipsas perimere. Quæ enim omnia vera dicit, contrariam quoque sibi orationem veram facit: quare suam ipsius non veram: contraria nanque dicit eam non esse veram: quæ verò omnia falsa, & hæc se ipsam. Quod si exci- E piant illa quidem contrariam, quod sola non vera est, hæc vero se ipsam, quod sola non falsa, nihilo minus infinitas accidit eis petere orationes veras & falsas. Qui enim dicit veram orationem esse veram, consentit huic quod vera est: hoc vero in infinitum procedet. Clarum autem est, quod nec illi, qui omnia quiescere dicunt, verum dicunt, nec qui omnia moueri. Etenim si omnia quidem quiescunt, F semper eadem vera & falsa erunt: apparet autem hoc transmutari. Qui enim hoc dicit, aliquando ipse non erat, & rursus non erit. Si vero omnia mouentur, nihil erit verum: cuncta ergo falsa. Sed demonstratum est, hoc impossibile esse. Item necesse est, ens transmutari: ex a-